eul_wid: sos-ab

*Εὐνάπιος ὁ Σαρδιανός* · Eunapius of Sardis

# Life of Libanius

*Λιβανίου Ἔργα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Λόγος* Oration

1.1 Λιβάνιον δὲ Ἀντιόχεια μὲν ἤνεγκεν ἡ τῆς Κοίλης κα- κιτνέβγς Σθρίας Συρίας πρώτη τῶν πόλεων, Σελεύκου τοῦ Νικά- τορος ἐπικληθέντος ἔργον. ἦν δὲ τῶν εὖ γεγονότων καὶ εἰς τοὺς ἄκρους ἐτέλει.

1.2 νέος δὲ ὢν ἔτι καὶ κύριος ἑαυ- τοῦ πατέρων ἀπολελοιπότων ἀφικόμενος Ἀθήναζε οὔτε ὡς ἐκ Συρίας Ἐπιφανίῳ προσῆλθε μεγίστην ἔχοντι δόξαν οὔτε παρὰ Προαιρέσιον ἐφοίτησεν, ὡς ἐν τῷ πλήθει τῶν τῶν καὶ τῷ μεγέθει τῆς δόξης τῶν διδασκάλων καλυφθη- σόμενος, ἐνεδρευθεὶς δὲ ὑπὸ τῶν Διοφαντείων Διοφάντῳ προσένειμεν ἑαυτόν.

1.3 καὶ ὡς οἱ πάνυ τὸν ἄνδρα κατα- μεμαθηκότες ἔφασκον, ταῖς μὲν ὁμιλίαις καὶ συνουσίαις τὸ γεγονὸς συμμαθὼν ἐλάχιστα παρεγίνετο καὶ τῷ διδασκάλῳ τις ὀχληρὸς οὐκ ἦν, αὐτὸς δὲ ἑαυτὸν ἐπὶ ταῖς μελέταις συν- εῖχε καὶ πρὸς τὸν ἀρχαῖον ἐξεβιάζετο τύπον τὴν ψυχὴν δια- πλάττων καὶ τὸν λόγον.

1.4 ὥσπερ οὖν οἱ πολλάκις ποντες ἔστιν ὅτε καὶ τυγχάνοντες τοῦ σκοποῦ καὶ τὸ συνεχὲς τῆς μελέτης αὐτοῖς διὰ τῆς γυμνασίας τῶν ὀργάνων ὡς ἐπὶ τὸ πλεῖστον εὐστοχίας οὐκ ἐπιστήμην ἔφυσεν, ἀλλὰ τὴν τέχ- νην, οὕτω καὶ Λιβάνιος ἐκ τοῦ ζήλου τε καὶ τῆς παραθέ- σεως τῆς κατὰ μίμησιν προσαρτῶν ἑαυτὸν καὶ παραξέων ἡγεμόσιν ἀρίστοις, τοῖς ἀρχαίοις, καὶ οἷς ἐχρῆν ἑπόμενος ἐς 1 δὲ om. L 2 τῶν om. A 6 ἔχων A 8 τῷ om. A | καμφθησόμενος A 9 διοφαντειῶν A 10 ἑαυτῶν in ἑαυτὸν corr. man. rec. A 11 τὸ γεγονὸς συμμαθὼν om. L 14 ἐξ- εβιβάζετο A 15 λόγον] τύπον L I ὥσπερ — 19 Λιβάνιος om. L | <βέλη> πέμποντες ? at cf. Plutarchum quem in deliciis buit Eunapius, de defect. orac. 50 p. 438 A καθάπερ οἱ πολλὰ βάλλοντες ἐπιτυγχάνουσι πολλάκις 16 τυγχάνουσι? 19 τε om. A 21 τοῖς ἀρχαίοις om. L et cancellavit Sievers, Leben des Libanios p. 48 cf. Liban. vit. § 24 p. 19, 6 R οἷς ἐχρῆν ἑπόμενον | ἑπόμενος om. L | ἐς om. A ἴχνος τε ἄριστον ἐνέβαινε καὶ ἀπήλαυε τῆς ὁδοῦ τὰ εἰκότα.

1.5 θαρσήσας δὲ ἐπὶ τῷ λέγειν καὶ πείσας ἑαυτόν, ὡς ἐνά- μιλλος εἴη τοῖς ἐπὶ τούτῳ μέγα φρονοῦσιν, οὐχ εἵλετο περὶ μικρὰν πόλιν κρύπτεσθαι καὶ συγκαταπίπτειν τῷ τῆς πόλεως ἀξιώματι, ἀλλ᾽ ἐπὶ τὴν Κωνσταντινούπολιν διαβαλὼν ἄρτι παριοῦσαν εἰς μέγεθος καὶ ἀκμάζουσαν καὶ δεομένην ἔργων τε ὁμοῦ καὶ λόγων οἱ κατακοσμήσουσι, ταχὺ μάλα καὶ κατ αὐτὴν ἐξέλαμψεν εἰς συνουσίαν τε ἄριστος Ἄι χαριέστατος φανεὶς καὶ εἰς ἐπίδειξιν λόγων ἐπαφρόδιτος.

1.6

διαβολῆς δὲ αὐτῷ τινος γενομένης περὶ τὰ μειράκια, ἣν θεμιτὸν οὐκ ἦν ἐμοὶ γράφειν ἐς μνήμην ἀξιολόγων ἀνέντι τὴν γραφήν, ἐκπεσὼν τῆς Κωνσταντινουπόλεως κατέσχε τὴν Νικομήδειαν.

1.7 κἀκεῖθεν δὲ τῆς φήμης ἐπισπομένης καὶ παραθεούσης αὐτῷ διὰ ταχέων ἀποκρουσθεὶς μετὰ χρόνον τινὰ ἐπὶ τὴν ἑαυτοῦ πατρίδα καὶ πόλιν ἐπανέρχεται κἀκεῖ τὸν πάντα ἐβίω χρόνον μακρὸν καὶ παρατείνοντα γενόμενον.

1.11 παιδείας δὲ ὑπερβολὴν καὶ ἀνα- γνώσεώς ἐστιν εὑρεῖν ἐν τοῖς λόγοις λέξεσι κατεγλωττισμέναις ἐντυγχάνοντα. τὰ γοῦν Εὐπόλιδος δένδρα, Λαισποδίαν καὶ Δαμασίαν, οὐκ ἂν παρῆκεν, εἰ τὰ ὀνόματα ἔγνω τῶν δέν- δρῶν οἷς νῦν αὐτὰ καλοῦσιν οἱ ἄνθρωποι.

1.12 οὕτω λέξιν εὑρών τινα περιττὴν καὶ ὑπ’ ἀρχαιότητος διαλανθάνουσαν ὡς ἀνάθημά τι παλαιὸν καθαίρων εἰς μέσον τε ἦγε καὶ διακαθήρας ἐκαλλώπιζεν ὑπόθεσίν τε αὐτῇ περιπλάττων ὅλην καὶ διανοίας ἀκολουθούσας ὥσπερ ἅβρας τινὰς καὶ θερα- παίνας δεσποίνῃ νεοπλούτῳ καὶ τὸ γῆρας ἀπεξεσμένῃ.

1.13 ἐθαύμασε μὲν οὖν αὐτὸν ἐπὶ τούτοις καὶ ὁ θειότατος Ἰουλιανός, ἐθαύμασε δὲ καὶ ὅσον ἀνθρώπινον τὴν ἐν τοῖς λόγοις χάριν. καὶ πλεῖστά γε αὐτοῦ περιφέρουσι βιβλία, καὶ ὁ νοῦν ἔχων ἀναλεγόμενος ἕκαστον αὐτῶν εἴσεται.

1.14 ἱκα- νὸς δὲ ἦν καὶ πολιτικοῖς ὁμιλῆσαι πράγμασι καὶ παρὰ τοὺς λόγους ἕτερά τινα συντολμῆσαι καὶ ῥᾳδιουργῆσαι εἰς τέρψιν θεατρικωτέραν.

1.15 τῶν δὲ μετὰ ταῦτα βασιλέων καὶ τῶν ἀξιωμάτων τὸ μέγιστον αὐτῷ προσθέντων, τὸν γὰρ τῆς αὐλῆς ἔπαρχον μέχρι προσηγορίας ἔχειν ἐκέλευον, οὐκ ἀπεδέξατο 3 ἁ(??)λισμὸν A cf. Schneider, Pericul. crit. in Anthol. p. 124 7 γινόμενος A 9 Λαισποδίαν corr. Valesius Emed. III 18 coll. Eupol. fr. II 475 Mein. I ρ. 284 Kock. ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας αὐταῖσι ταῖς κνήμαισιν ἀκολου- θοῦσί μοι (Schol. ad Ar. Av. 1569) et Plut. Quaest. conviv. VII 3 p. 712 A δεήσει γραμματικὸν ἑκάστῳ τὸ καθ’ ἕκαστον ἐξηγεῖ- σθαι, τίς ὁ Λαισποδίας παρ’ Εὐπόλιδι 10 δεσποσίαν A δεσπω- σίαν L 11 οὗτος A 12 ὑφ’ ἁπλότητος L 13 καθαίρων corruptum videtur. num αἴρων ? 17 θειότατος] βασιλεὺς L 18 τοῖς om. L 22 πρὸς A 24 τὸ? 25 ὕπαρχον L | ἀπεδέξατο scripsi coll. Lib. πρὸς τοὺς βαρὺν αὐτὸν καλέσαντας I 174, 1 τί ταῦτα λέγω,. λέγειν ἔχων τὸ γραμματεῖον ἐκεῖνο ὃ διεωσά- μην, ὅπως μὴ σεμνότερος γεγενῆσθαι δόξαιμι . . . . οὐδέ γε ἡγησάμην μέγα Με ταῖς διὰ τὸν τρόπον μου τιμαῖς ἠξίωσα προσ- θεῖναι τὰς ἀπ̓ ἐκείνων τῶν γραμμάτων (Vales. ad Amm. Marc. XV 3 ρ. 71 vertit: recusavit) ἐπεδείξατο AL Ceterum cf. Sievers l. l. ρ. 293 et Th. Mommsen Herm. XXXVI 210 4 ἀλλ’ ἐτελεύτησε] ἐτελεύτησε μέντοι L 6 Τούτῳ — 7 συμβάντων om. A φήσας τὸν σοφιστὴν εἶναι μείζονα. καὶ τοῦτό ἐστιν οὐκ ὀλίγος ἔπαινος, ὅτι δόξης ἐλάττων ἀνὴρ μόνης ἥττητο τῆς περὶ τοὺς λόγους, τὴν δὲ ἄλλην δημώδη καὶ βάναυσον ὑπε- λάμβανεν.

1.16 ἀλλ’ ἐτελεύτησε καὶ οὗτος εἰς γῆρας ἀφικό- μενος μακρότατον καὶ θαῦμα οὐκ ὀλίγον ἀπολιπὼν ἅπασιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org